**A SIGMA PHI 76th Annual Greek Translation Contest (2025)**

**Advanced Greek**

To be written as an examination, under supervision, within a maximum of two hours. No lexicon or other help is permitted. Please write in ink on every other line of the paper provided. The only identification on the contest papers should be your pen name.

---

The “Four Hundred” dismantle the Athenian democracy and take control of the government (411 BCE).

1 τούτων δὲ διατεταγμένων οὕτως ἐλθόντες οἱ τετρακόσιοι μετὰ ξιφιδίου ἀφανοῦς ἕκαστος, καὶ οἱ εἴκοσι καὶ ἑκατὸν μετ᾽ αὐτῶν νεανίσκοι, οἷς ἐχρῶντο εἴ τί που δέοι χειρουργεῖν, ἐπέστησαν τοῖς βουλευταῖς οὖσιν ἐν τῷ βουλευτηρίῳ καὶ εἶπον αὐτοῖς ἐξιέναι λαβοῦσι τὸν μισθόν, καὶ ἐξιοῦσιν ἐδίδοσαν.

2 ὡς δὲ τούτῳ τῷ τρόπῳ ἥ τε βουλὴ οὐδὲν ἀντειποῦσα ὑπεξῆλθε καὶ οἱ ἄλλοι πολῖται οὐδὲν ἐνεωτέριζον, ἀλλ᾽ ἡσύχαζον, οἱ δὲ τετρακόσιοι ἐσελθόντες ἐς τὸ βουλευτήριον τότε μὲν πρυτάνεις τε σφῶν αὐτῶν ἀπεκλήρωσαν καὶ ὅσα πρὸς τοὺς θεοὺς εὐχαῖς καὶ θυσίαις καθιστάμενοι ἐς τὴν ἀρχὴν ἐχρήσαντο, ὕστερον δὲ πολὺ μεταλλάξαντες τῆς τοῦ δήμου διοικήσεως ἔνεμον κατὰ κράτος τὴν πόλιν.

3 καὶ ἄνδρας τέ τινας ἀπέκτειναν οὐ πολλούς, οἳ ἐδόκουν ἐπιτήδειοι εἶναι ὑπεξαιρεθῆναι, καὶ ἄλλους ἔδησαν, τοὺς δὲ καὶ μετεστήσαντο· πρός τε Ἆγιν τὸν Λακεδαιμονίων βασιλέα ὄντα ἐν τῇ Δεκελείᾳ ἐπεκηρυκεύοντο, λέγοντες διαλλαγῆναι βούλεσθαι καὶ εἰκὸς εἶναι αὐτὸν σφίσι καὶ οὐκέτι τῷ ἀπίστῳ δήμῳ μᾶλλον ξυγχωρεῖν.

1 διατάσσω make arrangements
ξιφίδιον dagger
ἀφανής unseen, hidden
χειρουργέω commit acts of violence
ἐφίστημι stand against (+ dat.)
μισθός salary

2 ὑπεξέρχομαι withdraw
νεωτερίζω attempt political change
ἀποκληρόω choose by lot from
καθίστημι set in order
ἀρχή office
χράομαι observe, furnish
μεταλλάττω change, alter
διοίκησις internal administration
νέμω deal with, manage
κατὰ κράτος by force

3 ἐπιτήδειος convenient
ὑπεξαιρέω remove, destroy
μεθίστημι remove, banish
ἐπικηρυκεύομαι send message via ambassador
διαλλάττω reconcile
εἰκός reasonable
συγχωρέω meet, be in collusion with